Universitätsbibliothek Paderborn

# Philippi Cyprii, Protonotarii Constantinopolitani, Chronicon Ecclesiae Graecae

**Philippus <Cyprius>**

**Franeqverae, 1679**

34 De jejunio monachorum primi & secundi ordinis.

urn:nbn:de:hbz:466:1-10949

Visual Library

βασιλεὺς ὢν καὶ προφήτης μέγας, ὅταν ὑβρίζητο ἀπὸ τοῦ κακίστου Σιμεΐ, μετὰ τὸ ἐπιστρέψαι εἰς τὴν βασιλείαν αὐτοῦ, οὐκ ἠθέλησεν ἀποκλεῖναι τὸν κάκιστον ἐκεῖνον ὑβριστὴν αὐτοῦ. Κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι οἱ ἀσκηταὶ ζῶσι, διὰ τὸ μνησθῆναι αὐτοὺς τούτων τῶν προλεχθέντων ἀνδρῶν. καὶ ὅταν τις ὑβριστὴς ὑβρίσῃ αὐτοὺς, οὐ θέλουσιν ἀντιλέγειν, ἀλλ' αὐτίκα μέμνηνται τοῦ Δαβίδ, καὶ τοῦ Ἰωάννου λέγοντος ἐν ἀποκαλύψει κεφ. ιϛ. Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος, καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου, καὶ ἐκ τοῦ στόματος τοῦ ψευδοπροφήτου πνεύματα τρία ἀκάθαρτα ὅμοια βατράχοις. καὶ πορεύεται ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς, συναγαγεῖν αὐτοὺς εἰς πόλεμον. οἵτινες εἰσὶ δαιμόνια ταραχῆς. οὕτω καὶ οἱ ὑβρισταὶ ἀκάθαρτα δαιμόνια ὕβρεως καὶ ταραχῆς ἔχουσιν ἐν ἑαυτοῖς, ὥς φησιν ὁ Κύριος· Τὰ γὰρ κακὰ ἐξ ἀκαθάρτων στομάτων ἐξέρχεται. καὶ τούτου ἕνεκα θέλουσιν ὑβρίζειν τοὺς ἀνθρώπους, ἢ ἑτέρας ἀδικίας φέρειν, ὥς φησιν καὶ ὁ Παῦλος· Πολλοὶ ἀντίχριστοι εἰς τὸν κόσμον ἐληλύθασι. καὶ οὔτε κλέπτης, οὔτε λοίδορος, καὶ τὰ ἑξῆς, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. Καὶ τούτου ἕνεκα καταφρονοῦντες ἐκείνων, οὐ θέλουσιν ἀντιλέγειν, ἀλλὰ μέμνηνται τοῦ Παύλου λέγοντος· Ἐάν τις ἀδελφὸς ἐξ ὑμῶν πέσῃ ἐν τινὶ παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς, θέλουσι νουθετεῖν τοὺς ἀτάκτους μετ' εἰρήνης.

## ΚΕΦΑΛ. ΛΔ.

## Περὶ νηστείας τῆς πρώτης τάξεως, καὶ δευτέρας τῶν Μοναχῶν.

Ἡ Νηστεία τῆς πρώτης τάξεως, καὶ τῆς δευτέρας, τουτέστι, τῶν μοναστηριακῶν, καὶ τῶν ἡγουμένων, ἐστὶ τοιαύτη. Νηστεύουσιν ἐν ὅλῳ τῷ ἐνιαυτῷ καθ' ἑκάστην ἑβδομάδα τρεῖς ἡμέρας· ἡμέρα τῆς σελήνης, ἡμέρα Ἑρμοῦ, ἡμέρα Ἀφροδίτης. Ἡμέρᾳ τῆς σελήνης νηστεύουσιν, ὅτι τῇ ἡμέρᾳ τοῦ Κρόνου, καὶ τῇ ἡμέρᾳ τοῦ ἡλίου δὶς ἐσθίουσι τῆς ἡμέρας, καὶ ἐσθίουσιν ἰχθύας, καὶ βούτυρον, καὶ ὠά, καὶ γάλα, καὶ τυρὸν, καὶ ἔλαιον, καὶ οἶνον.

ſicuti regio non ſolùm diademate, ſed prophetiæ etiam dono valdè inclytus David, à bipedum ſceleſtiſſimo illo Simëi virulentâ linguâ conſputus, poſtquam regium ſolium occupavit, nequaquam ſcelus illud, calumniatorem, morte mulctavit. Idem ad exemplar & hi aſcetæ vitam ſuam inſtituunt, eò quod jam commemoratorum virorum minimè ex oculis & animis removeant imagines. Quod ſi igitur calumniator aliquis calumniis eos impetat, verbis eos nequaquam volunt protelare, ſed ſtatim recordantur Moſis, Davidis, & Johannis in Apocalypſi, cap. xvi ita loquentis: Et vidi ex ore draconis & ex ore illius beſtiæ & ex ore pſeudoprophetæ illius tres impuros ſpiritus ranis ſimiles; qui abeunt ad reges terræ, ut congregent eos ad prælium. Hi ſunt dæmonia ſeditionis & tumultus. Pari modo & conviciatores hi impuros contumeliæ & turbarum ſpiritus in animo ſuo nutriunt, ſecundum pronunciatum Domini: Mala enim ex ore impuro procedunt: & hinc aut homines contumeliis maculare, aut alia damna illis inferre ſtudent. Cui & Paulus concinit, dicens: Antichriſti multi mundum hunc intrarunt. Item: Nec fur, nec conviciator, nec qui conſequenter ordine commemorantur, regni Dei hæreditate potiri poterunt. Et hæc cogitantes ſolo contemptu illos refutant, ne verbo quidem illis ſeſe opponentes. Pauli verò conſiderantes dictum illud: Si fratrum veſtrorum aliquis forte in aliquo lapſus fuerit; vos, qui ſpirituales eſtis, hunc rurſus ſpiritu lenitatis in ſemitam rectam deducite, cogitantes & vos fortè in tentationem aliquam incidere poſſe; inordinatè viventes adhibita manſuetudine ſtudent corrigere.

## CAPUT XXXIV.
## DE
# Jejunio Monachorum primi & ſecundi ordinis.

CUm jejunio primi & ſecundi ordinis monachorum, hoceſt, tum monaſteriacorum, tùm ſuperiorum, ita ieſt comparatum. Jejunant illi per integrum annum ſeptimanis ſingulis tres dies, ut die Lunæ, Mercurii & Veneris. Diem Lunæ quidem jejuni ideò tranſigunt, quia diebus Saturni & Solis bis de die, & quidem piſcibus, butyro, ovis, lacte, caſeis, oleo vinoque fruuntur. Ne igitur cupiditates hinc robur

ἵνα δὲ μὴ αὐξάνῃ τὰ πάθη, νηστεύουσι τῇ ἡμέρᾳ τῆς σελήνης. τῇ δὲ ἡμέρᾳ τοῦ Ἄρεος, καὶ τῇ ἡμέρᾳ τοῦ Διός, καὶ τῇ ἡμέρᾳ τοῦ Κρόνου, καὶ τῇ ἡμέρᾳ τοῦ ἡλίου δὶς ἐσθίουσιν ἀπὸ πάντων τῶν προλεχθέντων. Τῶν τριῶν ἡμερῶν ἡ νηστεία οὕτως ἔχει· δευτέρα ὥρα μετὰ τὴν μεσημβρίαν, προσεύχονται ἐν τῷ ναῷ, καὶ ἐξερχόμενοι πορεύονται εἰς τὴν τράπεζαν, καὶ ἐσθίουσι φάβας μετὰ ζωμοῦ, ἄνευ ἐλαίου καὶ βουτύρου, καὶ τινὰς χόρτους μετὰ ὄξους, ἢ κυάμους, λάθυρα ἐψαιμένα, ἄνευ ἐλαίου καὶ βουτύρου, καὶ τοιαῦτα. τὸ δὲ ἑσπέρας εἰσέρχονται εἰς τὸν ναόν, καὶ μετὰ τὰς προσευχὰς ἐξερχόμενοι ἐκ τοῦ ναοῦ, κάθηνται ἀμφὶ τὸν ναόν, καὶ περιέρχεται ὁ κελλαρίτης μετὰ κοφίνου πλήρες κλασμάτων ἄρτων, καὶ δίδωσιν ἑκάστῳ μοναχῷ ἓν κλάσμα ἄρτου, καὶ ὕδατος ἓν ποτήριον. καὶ οἱ μὲν νεώτεροι λαμβάνουσι ταῦτα, οἱ δὲ παλαιότεροι οὐδὲν λαμβάνουσιν, ἀλλὰ κάθηνται μικρόν, καὶ μετ᾽ ὀλίγον πάλιν εἰσέρχονται εἰς τὸν ναόν, καὶ προσεύχονται ποτὲ μὲν μίαν ὥραν, ποτὲ δὲ ἥμισυ τῆς ὥρας. Καὶ ὅταν μέλλουσιν ἐξελθεῖν, ἵσταται ὁ ἡγούμενος ἐν τῇ πύλῃ, καὶ ἕκαστος μοναχός, ὅταν θέλῃ ἐξελθεῖν ἐκ τῆς πύλης, προσκυνεῖ τῷ ἡγουμένῳ λέγων, εὐλόγησον δέσποτα, ὁ ἡγούμενος δὲ ἀποκρίνεται λέγων· Ὁ θεὸς συγχωρήσει σοὶ τέκνον. καὶ οὕτως εὐθὺς πορεύονται εἰς τοὺς οἰκίσκους αὐτῶν, καὶ οὐκ ἔξεστι πλέον λαλεῖν τι μετὰ ἑτέρου. καὶ οὕτως ἐν τοῖς οἴκοις αὐτῶν ἄρχονται εὔχεσθαι κατ᾽ ἰδίαν, καὶ γονυπετεῖν πρὸς τὸν Θεόν, καὶ δέεσθαι τοῦ Θεοῦ καὶ περὶ αὐτοῦ καὶ περὶ ἑτέρων ἱκανὴν ὥραν, καὶ μετὰ ταῦτα καθεύδουσιν, ἕως ἅπαξ ἠχήσει τὸ ὡρολόγιον, μετὰ τὸ μεσονύκτιον. καὶ τότε πάλιν ἐγείρονται εἰς τὰς προσευχὰς ὁμοῦ πάντες, καὶ μένουσιν ἕως πρωΐ, καὶ τὸ πρωῒ ἐξερχόμενοι ἐκ τοῦ ναοῦ, πορεύεται ἕκαστος εἰς τὸ ἴδιον ἐργόχειρον, καὶ ἐργάζονται ἕως ἐγγὺς τοῦ ἀρίστου, καὶ πάλιν πορεύονται εἰς τὸν ναὸν πρὸ τοῦ ἀρίστου, καὶ ἐξερχόμενοι ἐκ τοῦ ναοῦ πορεύονται πρὸς τὸ ἄριστον, ὡς καὶ χθές. Καὶ ὅταν μέλλουσιν ἐξελθεῖν ἐκ τοῦ ἀρίστου, ὁ ἡγούμενος ἵσταται ἐν τῇ πύλῃ τῆς τραπέζης, καὶ ἐξερχόμενος ἕκαστος μοναχὸς προσκυνεῖ τῷ ἡγουμένῳ λέγων, εὐλόγησον δέσποτα. Καὶ ὁ ἡγούμενος ἀποκρίνεται λέγων, ὁ Θεὸς συγχωρήσει σοὶ τέκνον. Τῇ δὲ μεγάλῃ τεσσαρακοστῇ γονυπετοῦσιν ἔμπροσθεν τοῦ ἡγουμένου, καὶ ἐν τῷ ἀρίστῳ,

καὶ

aliquod acquirant, die Lunæ cibo abstinent. Diebus verò Martis, Jovis, Saturni, & Solis omnibus enumeratis eduliis bis vescuntur. Trium horum dierum jejunium ad hunc modum instituitur. Secundâ post meridiem horâ precibus Deum compellant in templo; hinc egressi ad mensam sese conferunt, fabas cum jusculo, citra oleum tamen & butyrum, ut & herbas nonnullas, adhibito aceto, fabas, lathuria, absque butyro & oleo cocta in cibum adhibentes: vespertino verò tempore templum denuo intrant, absolutisque precibus eodem egressi, sedendo templum circumcirca cingunt, ubi cellarius cophinum panum fragmentis plenum portans circumit, monachorum cuilibet unum frustum panis unumque cyathum aquâ repletum porrigens, quod dimensum soli juniores accipiunt, seniores autem nihil quicquam accipiunt; postquam autem paululùm consederunt, rursus templum intrant, orationibus aliquando per unius, aliquando per medium tantùm horæ spatium dediti. Exituris autem illis, major eorum in vestibulo cousistens à quolibet monachorum, portâ egredi cupiente, venerabundè his verbis salutatur: Benedic mihi domine. Ad quod major respondet: Propitius sit tibi Deus, mi fili. Quo facto, rectà in cellulas suas se conferunt, nec licet cuiquam amplius cum quoquam vel quicquam fari; sed soli sine ullis testibus in domunculis suis orationes suas exordiuntur, flexisque coram Deo genibus, & pro se & pro aliis preces per horam integram fundunt. His finitis ad somnum sese componunt, ad signum usque horæ post mediam noctem stertentes. Hac auditâ expergefiunt, & ad preces omnes ex æquo coëunt, protrahentes eas ad ipsum tempus matutinum usque; manè verò templo excedentes, quilibet officii sui munus aggreditur, ad tempus prandii in eodem occupatus. Tùm, antequam ad prandium accedant, templum prius intrant; ex eo reversi prandio adsunt, eundem quem heri in eodem morem modumque observantes. Quando verò prandio ad finem jam perducto, à mensâ volunt surgere, senior in mensæ parte extremâ consistit; quem prætereuntes monachorum singuli venrabundo cultu & vultu salutant dicentes: Benedicito Domine. Cui ille respondet: Deus tibi, mi fili, erit propitius. Tempore verò magnæ quadragesimæ non solùm post prandium, sed etiam post absolutam cœnam, in ipsâ ecclesiâ ad pedes majoris sui procidunt, eadem & proferentes, & responsi

καὶ ἐν τῷ ἀποδειπνίῳ ἐν τῇ ἐκκλησίᾳ, ὡσαύτως ἀποκρινόμενοι· καὶ τοῦτο τὸ ἔργον ποιοῦσιν ἐν ὅλῳ τῷ ἐνιαυτῷ. Ἐπὶ πρὸς ταῦτα, ἐὰν συμβῇ τινι τῶν μοναχῶν καθεύδειν, καὶ μὴ ἐγερθῆναι ἐν τῇ ἀρχῇ ὅταν ἄρχονται εὔχεσθαι, ἀλλὰ παρέλθῃ ἡ ὥρα τῆς πρώτης προσευχῆς, ἥτις καλεῖται μεσονύκτιον, καὶ ἐγερθῇ μετὰ τὸ μεσονύκτιον, ἐκεῖνος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἀριστεύει μετὰ τῶν λοιπῶν μοναχῶν, ἀλλ' ἐσθιόντων τῶν λοιπῶν μοναχῶν, ἐκεῖνος ἵσταται ἐν τῇ πύλῃ τῆς τραπέζης κατέναντι πάντων τῶν ἐσθιόντων, καὶ προσκυνεῖ ἐνώπιον πάντων τῶν ἐσθιόντων λέγων, Ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ τὰ ἑξῆς, ἕως ἐγερθῶσι πάντες ἀπὸ τοῦ ἀρίστου. καὶ ὅταν ἐγερθῶσι, πάντες θέλουσιν ὁμοῦ ἐξέρχεσθαι, ἐκεῖνος δὲ πίπτει χαμαὶ ἐπὶ τῆς γῆς κατὰ κεφαλῆς, καὶ λέγει· Εὐλογεῖτε, πατέρες ἅγιοι, τὸν ὀκνηρὸν, ὅτι ἥμαρτον. καὶ οὕτως ἕκαστος τῶν ἀδελφῶν λέγει πρὸς ἐκεῖνον· Ὁ Θεὸς συγχωρήσει σοι ἀδελφέ. καὶ ὅταν πάντες ἀπέρχονται, τότε ἐκεῖνος ἐσθίει. Καὶ τὸν αὐτὸν τρόπον ποιοῦσι καὶ οἱ πρῶτοι μοναχῶν καὶ ἐλάττονες. Τοῦτο δὲ ποιοῦσι πάντες εὐθύμως, ἵνα παράδειγμα ἀγαθὸν ἔχωσι πάντες πρὸς τὸ ἐγείρεσθαι ἀεὶ ἐν τῷ καιρῷ τῆς πρώτης προσευχῆς.

## ΚΕΦΑΛ. ΛΕ.

### Περὶ νηστείας τῆς τρίτης τάξεως τῶν μοναχῶν, ἥτις καλεῖται ἀσκητικὴ τάξις, τουτέστι, τῶν τελειοτέρων μοναχῶν.

Ἡ Τρίτη τάξις τῶν μοναχῶν καλεῖται ἀσκητικὴ τάξις. Οὗτοι οἱ ἀσκηταὶ ἐσθίουσιν ἐν ὅλῳ τῷ ἐνιαυτῷ ἅπαξ τῆς ἡμέρας, ἐκτὸς τῶν μεγάλων ἑορτῶν· πολλάκις καὶ τότε ἅπαξ, ἐὰν ἀριστεύσωσιν, οὐ θέλουσι δειπνεῖν· καθὰ πρότερον ἐδιηγήθημεν περὶ τῆς νηστείας τῆς πρώτης καὶ δευτέρας τάξεως τῶν μοναχῶν.

## ΚΕΦΑΛ. ΛϚΤ.

### Περὶ τῶν τεσσαρακοστῶν τῶν μοναχῶν.

Ἔχουσι καὶ οἱ μοναχοὶ τέσσαρας τεσσαρακοστὰς, καθάπερ καὶ οἱ κοσμικοὶ, ἐν τῷ ἐνιαυτῷ. Ἡ πρώτη καλεῖται μεγάλη καὶ ἁγία τεσσαρακο-

loco accipientes verba. Et hanc rationem per totum annum obſervant. Quin ſi contingit monachorum quempiam adeo profundo ſomno immergi, ut non in ipſo exordio, quando preces initium capiunt, expergefiat, ſed demum, jam præterlapsâ horâ orationis primæ, quæ mediam noctem definit, poſt mediam noctem ſurgat, die illâ ad prandium unà cum cæteris non admittitur, ſed reliquis prandentibus in extremâ parte menſæ in conſpectu omnium prandentium conſiſtere, omnibuſque ad menſam præſentibus audientibus, orando hæc ingeminare cogitur verba: Miſerere mei Deus ſecundum magnam miſericordiam tuam, & quæ ſequuntur; uſque dum omnes à prandio ſurgant. A menſâ verò ſurgentibus, omnibuſque unà exitum parantibus, iſte prono capite in terram ſeſe projicit, dicitque: Benedicite, oro, patres ſancti, homini ignavo; peccavi enim. Ad quod fratrum quilibet hoc reponit: Propitius tibi ſit Deus, mi frater. Quando autem jam omnes egreſſi ſunt, tùm ille quoque cibum capit. Et hoc ipſum non ſolùm extremi & ultimi, ſed etiam primi monachorum præſtare neceſſum habent. Et omnes quidem non ægro & adverſo, ſed prompto & lubenti animo id admittunt, quo ſcilicet cuncti bono hoc exemplo excitati, ſingulis diebus tempore primæ orationis ſomnum excutere diſcant.

## CAPUT XXXV.
### DE
# Jejunio monachorum tertii ordinis,
### qui aſceticus ordo audit, hoc eſt, ordo monachorum perfectiorum.

TErtius monachorum ordo nominatur ordo aſceticus. Hi aſcetæ per totius anni decurſum, non niſi ſemel de die cibum capiunt, exceptis feſtis ſolemnioribus; quamvis ſæpiculè etiam tùm ſolo prandio contenti, à cœna volentes abſtineant: quemadmodum ſupra de jejunio primi & ſecundi ordinis monachorum id recitavimus.

## CAPUT XXXVI.
### DE
# Quadrageſima monachorum.

SIcuti ſeculares, ita & monachi, quatuor in anno quadrageſimas obſervant. Prima appellatur magna & ſancta quadrageſima, quia,